www.tezaurliturgic.ro

# ΦΕΒΡΟΥΑΡΙΟΥ ΚϚʹ
# ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ
# ΚΑΙ ΚΑΛΛΙΝΙΚΟΥ ΜΑΡΤΥΡΟΣ
# ΘΕΟΚΛΗΤΟΥ

## ΕΝ Τῼ͂ ΜΙΚΡῼ͂ ΕΣΠΕΡΙΝῼ͂

Ἱστῶμεν στίχους στʹ καὶ ψάλλομεν
τὰ ἑξῆς στιχηρὰ Προσόμοια

*Ἦχος αʹ. Τῶν οὐρανίων ταγμάτων*

Τῆς ἀληθείας τὴν γνῶσιν ὑποδεξάμενος, εἰδωλικῆς ἀπ' αὐτῆς ἐβδελύξω τὸ ψεῦδος, Θεόκλητε παμμάκαρ· σὲ γὰρ Χριστός, ἱερῶς προσελάβετο καὶ τῆς οἰκείας εἰκόνος συγκοινωνὸν ἀναδείξας, σὲ ἐδόξασε. (Δίς)

Τῆς μαγικῆς ἐξαπάτης τὸ ἀσθενὲς ἐγνωκώς, τῆς εὐσεβοῦς λατρείας, ἐπτερώθης τῷ φίλτρῳ, ἄθλων γὰρ ἁγίων ταῖς ἀστραπαῖς, λαμπρυνθεὶς τὴν διάνοιαν, βάπτισμα τέκνον φωτός, ἐχρηματίσας Θεόκλητε. (Δίς)

Τῆς τῶν Μαρτύρων εὐκλείας, τὴν ὡραιότητα, ἰχνηλατῶν ἐνθέως, στρατιῶτα Κυρίου, ἔσπευσας τεθνᾶναι διὰ Χρι-

www.tezaurliturgic.ro

στόν, τὸν ζωὴν ὑπερκόσμιον, καὶ βασιλείας ἀπόλαυσιν οὐρανῶν, θεουργῶς σοι χορηγήσαντα.

Τοῖς τῶν αἱμάτων σου ῥείθροις, ἐποχετεύεις ἡμῖν, τῶν θεϊκῶν χαρίτων, τὸ ἀθάνατον ὕδωρ, καὶ ἄρδεις ἐπομβρίᾳ τῇ μυστικῇ, ὥσπερ κρήνη θεόβρυτος, τῆς Ἐκκλησίας τοὺς αὔλακας δαψιλῶς, ἀθλητὰ Χριστοῦ Θεόκλητε.

*Δόξα. Ἦχος α΄.*

Τὴν ἀστράψασαν χάριν σοι, εἰς ἑκατὸν πλεονάσας, μαρτυρικῶς ἠνδραγάθησας, Θεόκλητε μάκαρ· ἡ γὰρ ἐν ἀγνοίᾳ λειτουργία σου, δι' ἧς λατρείαν ἐδόκεις προσφέρειν Θεῷ, τὴν σωτηρίαν σοι ἐγεώργησεν· ὅθεν εὐγνωμόνως τὸ αἷμα σου ὡς μύρον ἔσπεισας, τῷ ἐπινεύσαντι τοῖς τρόποις σου. Αὐτὸν ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Ὁ αὐτός. Θεοτοκίον.*

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων Σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

*Ἀπόστιχα στιχηρά.*

*Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Πίστιν θεοσεβῆ, καρποφορεῖς ἐμφρόνως, ὡς ἄκαρπον ἑώρας, ἐν Ἀθληταῖς τοῦ ψόγου, ἰσχὺν τῆς ἐπιστήμης σου.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Νέκταρ ζωαρχικὸν πλουσίως σοι ὀμβρίζει, ἡ τῶν φαρμάκων πόσις, δι' ἧς τοὺς Ἀφθλοφόρους, ὀλέσαι ἐπεχείρησας.

www.tezaurliturgic.ro

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Φοῖνιξ ὑψιτενής, ἀθανασίας ὤφθης, ἀλλοιωθεὶς τὴν φρένα Θεόκλητε παμμάκαρ, Μαρτύρων καλλιέρημα.

*Δόξα. Τριαδικόν.*

Τρίφωτε βασιλεῦ, Πάτερ, Υἱὲ καὶ Πνεῦμα, πρὸς τρίβους σωτηρίας ἴθυνον τοὺς Σοὺς δούλους, εὐχαῖς τοῦ ἀθλοφόρου Σου.

*Θεοτοκίον.*

Ὢ μεγαλοπρεποῦς εὐκλείας σου Παρθένε· σὺ γὰρ Θεὸν ἐν μήτρᾳ ἐχώρησας ἀρρήτως, καὶ γάλακτι ἐξέθρεψας.

*Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ὡς τοῦ Μεγάλου Ἑσπερινοῦ, καὶ ἀπόλυσις.*